UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Eusebiu Tu Pamphilu Ekklēsiastikē Istoria

**Eusebius <Caesariensis>**

**Mogvntiae, 1672**

XX. Quinam eo tempore Antiochenam Ecclesiam rexerint.

urn:nbn:de:hbz:466:1-14478

Visual Library

πόνων. οὕτω δὲ σπουδῆς εἶναι ἄξιοι καὶ τοῖς παλαιοῖς ἐδόκουν οἱ τἀνδρὸς λόγοι, ὡς τὸν Εἰρηναῖον ἀπομνημονεύειν αὐτοῦ φωνάς. τοῦτο μὲν ἐν τῷ τετάρτῳ πρὸς τὰς αἱρέσεις αὐτὰ δὴ ταῦτα ἐπιλέγοντα. καὶ καλῶς Ἰουστῖνος ἐν τῷ πρὸς Μαρκίωνα συντάγματί φησιν. ὅτι αὐτῷ τῷ Κυρίῳ οὐδ' ἂν ἐπείσθην, ἄλλον Θεὸν καταγγέλλοντι παρὰ τὸν δημιουργόν· τοῦτο δὲ ἐν τῷ πέμπτῳ τῆς αὐτῆς ὑποθέσεως διὰ τούτων· καὶ καλῶς ὁ Ἰουστῖνος ἔφη, ὅτι πρὸ μὲν τῆς τοῦ Κυρίου παρουσίας οὐδέποτε ἐτόλμησεν ὁ Σατανᾶς βλασφημῆσαι τὸν Θεὸν, ἅτε μηδέπω εἰδὼς αὐτοῦ τὴν κατάκρισιν. καὶ ταῦτα δὲ ἀναγκαίως εἰρήσθω, εἰς προτροπὴν τοῦ μετὰ σπουδῆς τοὺς φιλομαθεῖς καὶ τοὺς τούτου περιέπειν λόγους. καὶ τὰ μὲν κατὰ τόνδε τοιαῦτα ἦν.

A porrò æstimati sunt etiam à Veteribus illius libri, ut Irenæus ejus testimoniis interdum utatur. Nam & in libro quarto contra hæreses hæc habet: Præclarè, inquit, à Justino dictum est in libro adversus Marcionem: Ne ipsi quidem Domino, ait, crediturus essem, si alium Deum prædicaret quàm mundi conditorem. Et in quinto ejusdem operis libro; Rectè, inquit, Justinus dixit, Satanam ante adventum Domini nunquam ausum fuisse impiè loqui adversus Deum, quippe qui damnationem suam nondum liquidò B cognovisset. Atque hæc necessariò à nobis dicta sint, ut discendi studiosi ad libros ejus accuratè pervolvendos incitentur. Hactenus de Justino.

## ΚΕΦΑΛΑΙΟΝ ΙΘ'.

Τίνες ἐπὶ τῆς Οὐήρου βασιλείας, τῆς Ῥωμαίων καὶ Ἀλεξανδρέων ἐκκλησίας προέστησαν.

Ἤδη δὲ εἰς ὄγδοον ἐλαύνούσης ἔτος τῆς δηλουμένης ἡγεμονίας, τῆς Ῥωμαίων ἐκκλησίας τὴν Ἐπισκοπὴν Ἀνίκητον ἕνδεκα τοῖς πᾶσιν ἔτεσι διελθόντα, Σωτὴρ διαδέχεται. ἀλλὰ καὶ τῆς Ἀλεξανδρέων παροικίας Κελαδίωνος τέτταρσιν ἐπὶ δέκα ἔτεσι προστάντος, τὴν διαδοχὴν Ἀγριππῖνος διαλαμβάνει.

## Caput XIX.

*Quinam imperante Vero Ecclesiæ Romanæ & Alexandrinæ præfuerint.*

Porrò supradicto Imperatore jam octavum Principatus annum agente, cùm Anicetus ecclesiæ Romanæ episcopatum undecim annis obtinuisset, Soter in ejus locum successit. Apud Alexandriam quoque cùm Celadion per annos quatuordecim ecclesiæ præfuisset, Agrippinus sedem ejus obtinuit.

Vide Nicephor. l. 4. c. 19.

C

## ΚΕΦΑΛΑΙΟΝ Κ'.

Τίνες τῆς Ἀντιοχέων.

Τηνικαῦτα καὶ ἐπὶ τῆς Ἀντιοχέων ἐκκλησίας Θεόφιλος ἕκτος ἀπὸ τῶν Ἀποστόλων ἐγνωρίζετο. τετάρτου μὲν τῶν ἐκεῖσε μετὰ Ἥρωνα καταστάντος Κορνηλίου. μετὰ δὲ αὐτὸν, πέμπτῳ βαθμῷ τὴν Ἐπισκοπὴν Ἔρωτος διαδεξαμένου.

## Caput XX.

*Quinam eo tempore Antiochenam Ecclesiam rexerint.*

Antiochenæ verò ecclesiæ episcopatum sextus ab Apostolis Theophilus gubernabat. Quippe Cornelius Heronis successor, quartus ab Apostolis D eidem ecclesiæ præsederat. Quem deinde excipiens Eros, quinto ab Apostolis loco eandem ecclesiam rexit.

Vide Niceph. l. 4. c. 19.

## ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Περὶ τῶν κατὰ τούτους διαλαμψάντων ἐκκλησιαστικῶν συγγραφέων.

Ἤκμαζον δὲ ἐν τούτοις ἐπὶ τῆς ἐκκλησίας, Ἡγήσιππός τε ὃν ἴσμεν ἐκ τῶν προτέρων, καὶ Διονύσιος Κορινθίων Ἐπίσκοπος, Πινυτός τε ἄλλος τῶν ἐπὶ Κρήτης Ἐπίσκοπος. Φίλιππός τε ἐπὶ τούτοις καὶ Ἀπολινάριος καὶ Μελίτων, Μουσανός τε καὶ Μόδεστος καὶ ἐπὶ πᾶσιν

## Caput XXI.

*De Scriptoribus Ecclesiasticis qui eadem ætate floruerunt.*

Iisdem temporibus in ecclesia floruit Hegesippus, de quo in superioribus libris abundè jam dixi: & Dionysius Corinthiorum episcopus: Pinytus quoque Cretensium episcopus; Philippus præterea & Apollinaris ac Melito: Musanus etiam & Modestus, ac po-

Vide Nicephor. l. 4. c. 19.